Ακαδημία Αθηνών / Academy of Athens



Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά Σου, τοῦ Πατρός, κ.τ.λ.

Ες τὴν ς' ᾠδὴν

Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, κ.τ.λ.

Εἰς τὴν ζ' ᾠδήν.

Εἴη τὸ κοάτος τῆς Βασιλείας Σου εὐλογημένον, τοῦ Πατρός, κ.τ.λ

Εἰς τὴν η' ᾠδήν.

Ὅτι εὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά Σου, τοῦ Πατρός, κ.τ.λ.

Εἶτα ὁ διάκονος·

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

Εἰς τὸ τέλος τῆς θ' ᾠδῆς

Ὅτι Σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν καὶ Σοὶ τὴν τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, κ.τ.λ.

## Τὰ καθ' ἡμέραν προκείμενα.

Τῷ Σαββάτῳ ἑσπέρας, ἦχος β'.

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.

Τῇ Κυριακῇ ἑσπέρας, ἦχος πλ. δ'.

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον πάντες οἱ δοῦλοι Κυρίου.

Τῇ Δευτέρᾳ ἑσπέρας, ἦχος δ'.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.

Τῇ Τρίτῃ ἑσπέρας ἦχος α'.

Τὸ ἔλεός Σου, Κύριε, καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Τῇ Τετάρτῃ ἑσπέρας ἦχος πλ. α'.

Ὁ Θεὸς ἐν τῷ ὀνόματί Σου σῶσόν με καὶ ἐν τῇ δυνάμει Σου κρινεῖς με.

Τῇ Πέμπτῃ ἑσπέρας ἦχος πλ. β'.

Ἡ βοήθειά μου παρὰ Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Τῇ Παρασκευῇ ἑσπέρας, ἦχος βαρύς.

Ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ, τὸ ἔλεος προφθάσαι με.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ